


NAZ.


BIBLIOTECA NAZ.
Vittorio Emanuele III
XLI
F
78
NAPOLI



DANIELIS HEINSII

PEPLVS GRÆCORVM EPIGRAMMATVM:

In quo omnes celebriores Græciæ Philosophi, encomia eorum, vita, & opiniones recensentur, aut exponuntur.



LVGDVNI BATAVORVM,
Ex officina Ioannis Patij, iurati & ordinarij academiæ typographi, CIƆ IƆ CXIII.
Prostant apud LVDOVICVM ELZEVIRIVM.



Repone hoc epigramma inter Socraticos ſuo loco.

ΕἸΣ ἘΥΡΙΠΙ'ΔΗΝ.

Ὠχρὸν κἀνυπόδητον ἀεί σ', ὦ Σώκρατες, εἶπεν
Ἡ μεγαλοψύχου βίβλος Ἀριστονίδεω·
Μοῦνον δὲ βλαύτας ὑποδήσασθαί ποτέ φησιν
Ἀνδρῶν εἰς ἑτάρων δαῖτα μετερχόμενον·
Νῦν δέ σοι ὑψηλὸν περὶ πρῶτος θῆκε κόθορνον
Παῖς Κλειτός, λιγυρῆς τὸ στόμα Μελπομένης.

Amplif.

Amplissimo Clarissimoque Viro

HVGONI GROTIO,

HOLLANDIÆ AC ZELANDIÆ FISCI PATRONO.

VIdentur mihi, Hugo Groti, vir Clarissime, quemadmodum imperiorum, ita studiorum fatales quædam esse conuersiones. Siue quod alijs delectatur alius, siue quod literæ & elegantiores Musæ, sine patrocinio summorum hominum, tueri se non possunt: ac quodammodo iudicia magnatum & voluntates sequuntur. Oppressus enim paupertate ingens animus, nihil eximium aut sublime cogitare potest: amœnitates autem literarum ac elegantias, postquam nihil sibi præsidij in ijs ne ad vitæ quidem commoda esse videt, primo negligere, mox odisse incipit. In quarum locum lucri studium succedit & ambitio. quæ quemcunque afflauit, ex illius animo præclaras omnes cogitationes delet facile ac extinguit: & quemadmodum rubigo ferri splendorem, ita vim mentis & ardorem debilitat paulatim & corrumpit. Solet autem euenire, vt qui vegeto ingenio sunt supra vulgus ac erecto, nisi sapientiæ studiũ cõiungant, quæ in rerum externarum non possessione sed contemptu

animi felicitatem ſtatuit, facillime a propoſito dimoueantur: cum nec precium præclaris rebus poni, nec honorem debitum deferri vident. Ita vel iudicio plebeio vel magnatum imperitia, facillime iſtæ artes dilabuntur, quarum conſeruatione ipſa continetur humanitas. Quod cum intelligerent doctiſſimi ſuperioris æui principes, omnes quanta maxima id fieri contentione potuit, eam in rem incubuerunt, vt præclara illa ſtudia, tum alijs, tum cultoribus eorum commendarent. Quod ab homine diuino, Laurentio Medice, in Italia, in Gallia a Franciſco eius nominis primo, factum eſſe ſcimus. Quare vtrobiq; maximus eodē tempore ingeniorum præclarorū fuit prouentus: ac præcipue eorum, qui humaniores artes & doctrinam elegantem, multos ante annos a barbarie oppreſſam, colerent & quaſi reuocarent. Ante omnia autem Græcam eruditionem, totos ſeptingentos annos ex Italia exulantem, fatum quoddam ac occulta prouidentiæ diuinæ ratio, per Europam totam propagauit. Chryſoloras enim, cum oppreſſa ſeruitute maxima ex parte Græcia, ad totius orbis Chriſtiani principes, & eorum implorandam opem, a Ioanne miſſus eſſet, liberata præter expectationem patria, cum Italia Græciam, cum profeſſione eius linguæ publicam legationem commutauit. Itaque vir tantus, cum ſplendidius exiſtimaret eſſe nihil, tribus poſtea in locis Græcas literas profeſſus eſt: primusque ſtudium illarum, quantum credi vix poteſt,

per

per Europam totam excitauit. Hunc deinde Trapezuntij, Gazæ, Argyropuli, Musuri ac Chalcondylæ, secuti sunt; Græci omnes, & qui disciplinas Græcas, summa ope promouerent ac industria. Ne Bessarionem hic commemorem: virum summum, & qui eruditione Græca, primus suæ gentis purpuram est consecutus. Lascarem quoque vt omittam, qui ex illustrissima Græcorum imperatorum familia oriundus, post legationem alteram ad Bajazetem, vnamque ad Ludouicum Galliarum regem, longe clarissimas, Græcas Romæ literas docere non erubuit. Vt videant profani ac fastidiosi literarum allatratores, nihil esse maius eo quod contemnunt: nostra autem studia supra dignitatem esse suam pariter & captum. Ne perpetuo tenebriones suum locum pariter & nostrum ignorent. Ita ad reliquos paulatim eæ literæ translatæ sunt, quæ eodem tempore pœdagogorum negligentia, ac fatali principum fastidio, frigore feriri cœperunt. Nam in Gallia non pauci extitere, qui ne Græcis quidem quicquam concederent. Inter quos Budæus fuit, libellorum supplicum magister, & Francisci regum præstantissimi, ad Pontificem pro tempore legatus. Quem non puduit in tanta dignitate, omnem in hac sola prope lingua operam locare. Tum vir maximus Turnebus. Quorum alter accurato, sed quod propius laborioso esset, alter eleganti ac polito orationis genere, laudem etiam nonnullis antiquorum ancipitem reliquit.

Cæterum, quod ſæpe admirari ſatis non poſſum, in tam vberi magnorum fœcunditate ingeniorum, nemo fere eſt repertus, ne in ipſis quidem Græcis, qui leporẽ Græcæ Muſæ, qualis in antiquis olim fuit, aut intellexiſſe ſatis aut exprimere feliciter videretur. Muſurum excipio, Cretenſem natione. qui cum admirandum illud carmẽ, quod Platonis maximi operibus præfixum legitur, ſcripſiſſet; paulo poſt ab erudito principe Leone Decimo, non alia vt putatur de cauſa, Archiepiſcopus Epidaurenſis creatus eſt. Neque paulo poſt vir animoſus, aſpirare ad purpuram dubitauit. Quanquam ſane illius, præter hoc & pauca item epigrammata quæ ſparſim leguntur, nihil quicquam memini extare. Laſcaris, cum diu fruſtra quæſiuiſſemus, tandem nacti ſumus poematia. Quæ non ſunt eiusdem ſane generis: neque eiusdem viri famam ſuſtinere poſſe videtur. Præter enim pauca, longe optima, reliqua ſunt duriuſcula & obſcura. Scipionis Carteromachi omnia quæ alibi ſunt edita, bonam voluntatem ſine ſucceſſu oſtendunt. quemadmodum & Aldi quæ vidimus. Angelus Politianus, vir cœleſti præditus ingenio, ſed, ſi famæ credimus, alieni obtrectator, ne quid Græcis eius temporis concederet, quorum auditoria & famam iam inuaſerat, poetari quoque lingua eorum voluit. Cæterum hæc quoque, pauca ſi excipias, quale eſt quod in Emergentem Venerem conſcripſit, & fortaſſe alterum, quod in Armatam, illo genio deſtituuntur

untur,qui in antiquorum epigrammatis elucet. Vt omittam,pleraque ne Græca quidem ſatis eſſe. Jam vero, in temporibus & ſyllabarum modis, ea ſæpe alibi committit, quæ non raro in Latinis aliorum, acerbe & crudeliter traducit. Nam qui omnia licere Græcis arbitratur, næ profecto mecum & cum priſcis autoribus non facit. Sed de iſtis alias: cum fortaſſe exercendi cauſa animi non pauca notabimus. Me autem puero memini (neque eorum quicquam te latet) cum illuſtris vir Ioſephus Scaliger, in officinam quandam veniſſet, in qua decem a nobis verſiculos alteris longioribus ſcriptos inueniſſet, rem exigui momenti & mediocrem plane, quod exiſtimaret laudem eam qua tantopere ipſe excellebat, huius ſæculi vix eſſe, domum cum veniſſet, quo candore erat, non continuiſſe ſe, quin ſæpe exclamaret, ſuo ſibi æuo ſe gratulari: & non pauca item alia, quæ non decent verecundiam illius, qui hæc nunquam tanti eſſe exiſtimauit. Puto autem ea ratione, ſenem diuinum, eorum quæ tantopere laudaret, nihil præter ſtudium in nobis commendaſſe. Quod profecto excitauit. Paulo enim poſt cum longiuſculum poema ſcripſiſſem, verſibus æqualibus, tanto gaudio perfuſus eſt vir maximus, vt totum prope menſem, nihil aliud amicis ad ſe venientibus narraret. Neque addam tamen, quæ tu eueniſſe non ignoras. Poſtea eorum ſtudiorum cura aliquamdiu ita languit in nobis, vt duobus an-

nis,totidem vix versus scriberemus. Nunc ad argumentum veniamus. Cum sint varia quæ oblectare liberalem possint animum,nulla mihi maior videtur, quam quæ e philosophia petitur voluptas. Non modo ea,quæ in regno suo cum versetur,causas quoque singulas inquirit:sed & ea quæ historiæ propior, aut vnius simpliciter opinioné proponit, aut multorum pariter coniungit.In quo non inutilem nauauit operam Laertius Diogenes, domo Cilix, & ab vrbe patria sic dictus. Quanquam enim sine certo ordine plerunque plurima confundit, multum tamen illi vt debeamus, factum est calamitate nostra:qui in ea tempora incidimus, ad quæ tantum tabulæ scriptorum optimorum tanquam e naufragio peruenerunt. Idem autor,plane similem huic nostro,Epigrammatum conscripserat libellum;in quo laudes, vitam,& opiniones,veterum philosophorum aut attigerat,aut quemadmodum poetæ solent, scribendi ex ijs argumétum desumpserat.Quem inepté satis Pammetrum inscripserat:quod diuersis, vt ex ijs etiam quæ hodie leguntur,manifestum est,versiculis constaret. Quæ inscriptiones,quanti faciendæ sint, supremus doctor Aristoteles nos monuit. Cuius exemplum sufficere hic poterat.Quippe summus vir,omnisq; vel scientiæ vel eruditionis princeps, cum Homerum assidue legeret,qui in eius scriptis extarent, heroum genealogiam conscripserat, singulisque singula epigrammatia tribuerat: quæ duobus non amplius versiculis,

lis,excepto vno quod Aiaci dederat,constarent. In quibus mira erat simplicitas, nulla affectatio: dictio casta ac Græca:acumen rarum;non quemadmodum Laertij,putidum plerunque & ineptum:nihil occurrebat denique, quod Critici de eo iudicant,ταχύ τε καὶ φλεγμαῖνον.Quia autem in Panathenaicis Mineruæ circumferri peplus solebat, in quo pugnæ Titanum, Deæ victoria, ac eximia virorum magnorum spectabantur opera, vrbanitatis omnis ac amœnitatis parens, opus in quo vniuersa pariter Deorum ac Heroum gesta persecutus erat, Peplum vocarat. E quo paucos illos versus, qui nunc Pepli nomine censentur, excerpserat Porphyrius. Nam de tota scripti ratione ac instituto,quædam alibi nondum forte satis intellecta dicemus. Cæterum id nobis in philosophis his imitãdum putauimus.Neminem quippe prætermisimus eorum,qui aut magni esset nominis, aut familiæ nobilioris esset autor. Quia autem maxime morata delectat oratio, plerisque aut patrium tribuimus sermonem, aut qui indolem ac mores singulorum optime referret. Quæ cum tanta delectatione inter scribendum legimus nonnunquam, vt Diogenem ex dolio,Epicurum ex intermundijs, Pythagorę mysterijs initiatos,crassa illa sua ἐκπλαῦνασ δοῖσα φωνᾶ differentes audire nobis videremur.Quam & Stoicis & Cynicis non alia de causa conuenire putabamus,quam quod mascula esset,& cum robore eorum optime quadraret. Ne de Heraclito & De-

mocrito dicam: quorum Ionismum sine incredibili voluptate, etiam ab alijs expressum nemo legit. Iam diversitatem morũ, & quod sapientiæ plerunq; nimiæ est proximũ, insaniam mihi cogita. Menedemus barba admodum prolixa, pilo Arcadico, Furiarum veste indutus, eo fine missum esse se aiebat, vt in mores hominum inquireret, & quæcunq; gererẽtur, Diti, abiturus hinc, denunciaret. Bio, cui multum Flaccus noster debet, patria Barbarum, parente seruo stigmatia, matre meretrice, natum se prædicabat: vt inuidiam præuerteret; nihil autem præter bona animi spectare ad se ostenderet. Xenophanes cum nihil certo posse sciri significare vellet; vbique dominari opinionem aiebat. quam festiua voce δόκον appellabat. Qualia non pauca sunt, quæ nisi intelligantur, perit oblectatio. Porro hæc voluptas siue est aliqua, siue eam ipsi nobis fingimus, tecum communem esse mihi volui, Hugo Groti, vir Amplissime. Cuius diuinum ingenium cum omnes admirentur, nescio quo pacto fit, vt in eius æstimatione nemo sibi satisfaciat, quam qui male iudicat: aut quæcunque assequi non potest, satis esse existimat, si deprimit. Tu iam puer, viros scientia, ingenio propemodum hominem excesseras. Academiam autem hanc cum relinqueres, quocunq; ires, tecum aliquam circumferebas: ipse hoc totum tibi quod doceri potest. Itaque qui nihil præter formulas aut leges loquuntur, quoties concurrere coguntur tecum, ne hoc quidem sibi scire videntur.

Adeo

Adeo in tam varia & admiranda eruditione tua, ægre hoc tuetur, præter quod omnino nihil venditare possunt. Iam cum literæ plerunq; & discendi assiduitas, ocium requirãt, ad negotium autem homines propemodum inutiles efficiant; tu ita munus molestissimum sustinuisti hactenus, vt quæcunq; in Republica iam restant, aliud agendo sustinere possis: & quod fidem quoque superat, tanquam in ocio absolutam patriæ historiam occupatissimus scripsisti. Quam qui olim legent, obstupescent, saluo Taciti splendore & augusta maiestate, dici aliquid floridius potuisse. Qua de re ad te fortasse breui in maiori opere. Interim hunc Peplum nunc mitto: qui propemodum iam nobis ipsis gratus esse cœpit, quia tuum quoque nomen bona fide intextum habet. Non potui autem minorem quam inter priscos locum illi dare, cuius laus hoc sæculum excedit. Vale Vir maxime, &, vt soles, constanter nos ama.

ΚΑΤΑΛΟΓΟΣ ΤΩΝ ΕΠΑΙΝΟΥΜΕΝΩΝ

ἐν τούτῳ τῷ βιβλίῳ φιλοσόφων.

ΕΙΣ ΟΜΗΡΟΝ.
ΕΙΣ ΗΣΙΟΔΟΝ.
ΕΙΣ ΘΑΛΗΝ.
ΕΙΣ ΣΟΛΩΝΑ.
ΕΙΣ ΚΛΕΟΒΟΥΛΟΝ.
ΕΙΣ ΠΕΡΙΑΝΔΡΟΝ.
ΕΙΣ ΧΕΙΛΩΝΑ.
ΩΣ ΑΠΟ ΠΙΤΤΑΚΟΥ.
ΩΣ ΑΠΟ ΒΙΑΝΤΟΣ.
ΕΙΣ ΑΝΑΧΑΡΣΙΝ.
ΕΙΣ ΜΥΣΩΝΑ ΤΟΝ ΧΗΝΕΑ.
ΕΙΣ ΕΠΙΜΕΝΙΔΗΝ.
ΕΙΣ ΦΕΡΕΚΥΔΗΝ.
ΕΙΣ ΑΝΑΞΑΓΟΡΑΝ.
ΩΣ ΑΠΟ ΣΩΚΡΑΤΟΥΣ.
ΩΣ ΑΠΟ ΞΕΝΟΦΩΝΤΟΣ.
ΕΙΣ ΦΑΙΔΩΝΑ.
ΕΙΣ ΕΥΡΙΠΙΔΗΝ.
ΕΙΣ ΤΑΣ ΤΟΥ ΠΛΑΤΩΝΟΣ ΒΙΒΛΟΥΣ.
ΕΚ ΤΟΥ ΠΛΑΤΩΝΟΣ ΚΑΤΟΧΟΣ.
ΕΙΣ ΜΑΞΙΜΟΝ ΤΟΝ ΤΥΡΙΟΝ.
ΕΙΣ ΤΟΝ ΑΥΤΟΝ.
ΕΙΣ ΑΡΚΕΣΙΛΑΟΝ καὶ ΛΑΚΥΔΗΝ.
ΩΣ ΑΠΟ ΑΡΙΣΤΙΠΠΟΥ.
ΩΣ ΑΠΟ ΒΙΩΝΟΣ.
ΩΣ ΑΠΟ ΑΡΙΣΤΟΤΕΛΟΥΣ.
ΕΙΣ ΤΟΝ ΑΥΤΟΝ.
ΕΙΣ ΘΕΟΦΡΑΣΤΟΝ.
ΕΙΣ ΑΝΤΙΣΘΕΝΗΝ.
ΩΣ ΑΠΟ ΔΙΟΓΕΝΟΥΣ ΤΟΥ ΚΥΝΟΣ.
ΕΙΣ ΜΕΝΙΠΠΟΝ.
ΕΙΣ ΜΕΝΕΔΗΜΟΝ.
ΕΙΣ ΤΟΥΣ ΣΤΩΪΚΟΥΣ.
ΕΙΣ ΖΗΝΩΝΑ ΤΟΝ ΚΙΤΤΙΕΑ.
ΕΙΣ ΚΛΕΑΝΘΗΝ.
ΕΙΣ ΧΡΥΣΙΠΠΟΝ.
ΩΣ ΑΠΟ ΕΠΙΚΤΗΤΟΥ.
ΕΙΣ ΤΟΥΣ ΠΥΘΑΓΟΡΙΚΟΥΣ.
ΕΙΣ ΤΑΣ ΠΥΘΑΓΟΡΙΚΑΣ ΓΥΝΑΙΚΑΣ.
ΩΣ ΑΠΟ ΠΥΘΑΓΟΡΟΥ.
ΕΙΣ ΕΜΠΕΔΟΚΛΕΑ.
ΕΙΣ ΕΠΙΧΑΡΜΟΝ.
ΩΣ ΑΠΟ ΤΙΜΑΙΟΥ ΤΟΥ ΛΟΚΡΟΥ.
ΕΙΣ ΠΑΡΜΕΝΙΔΗΝ ΤΟΝ ΕΛΕΑΤΗΝ.
ΩΣ ΑΠΟ ΕΥΔΟΞΟΥ.
ΩΣ ΑΠΟ ΗΡΑΚΛΕΙΤΟΥ.
ΩΣ ΑΠΟ ΔΗΜΟΚΡΙΤΟΥ.
ΩΣ ΑΠΟ ΞΕΝΟΦΑΝΟΥΣ.
ΕΙΣ ΜΕΛΙΣΣΟΝ.
ΩΣ ΑΠΟ ΖΗΝΩΝΟΣ ΕΛΕΑΤΟΥ.
ΕΙΣ ΑΝΑΞΑΡΧΟΝ.
ΕΙΣ ΠΥΡΡΩΝΑ.
ΩΣ ΑΠΟ ΕΠΙΚΟΥΡΟΥ.
ΕΙΣ ΤΙΜΩΝΑ ΤΟΝ ΣΙΛΛΟΓΡΑΦΟΝ.

Leuicula hæc emenda p. 1. θρεφθείς. 2. ἐπὶ χθονός. 6. θνητοῖσι. 8. pone comma post φθίῃ, non post ἔβοσκε. 11. mel. Ἀρισοκλέης. 15. τόδ'. ibid. ὑλακτεῖ. 17. Ἐρεχθηος.

ΕΙΣ ΤΟΝ ΟΜΗΡΟΝ, ΤΟΝ ΠΑ-
σης φιλοσοφίας τὰ πρῶτα.

Θεῖε Μελησιγενὲς, σὺ μὲν οὐρανόθεν προβεβηκὼς,
　Ἀρχὴν Μουσάων μήσαο καὶ σοφίης.
Ὡς γὰρ ἀπ' Ὠκεανοῖο τὸ μυρίον ἕλκεται ὕδωρ,
　Κρηνέων ἀενάων, ἠδ' ἄνα, καὶ ποταμῶν,
Τὼς καί σευ γεγάασιν ἀφ' αἵματος, οὕς τε τράφε θείης
　Κήρυκας σοφίης Ἑλλὰς ἀπειρεσίη.
Μοῦνος δ' ὕψι βέβηκας, ἅτε Στέντωρ δὲ γεγωνὼς,
　Πᾶσαν πλήρωσας γλῶσσαν ὁπὸς ἀθανάτου·
Τῆς ἔτι νῦν μάλα πάντες ἀκούομεν, ὡς παταγοῖο
　Βροντᾶς, ἐκ νεφέων μίγδα κυλινδομένων.
Ἀλλά μοι ἱλήκοις πανυπέρτατε. σοῦ γὰρ ἀείδειν
　Ὡς ὑψιβρεμέτου Ζηνὸς ἀπαρχόμεθα.

ΕΙΣ ΗΣΙΟΔΟΝ.

Δήμητερ τείλλισε, σὲ μὲν πολυγηθέα καρπὸν
　Ἀλδαίνει σοφίης εἰκὸς, ἅτε σταχύων.
Τὸν μὲν παῖς Δίοιο καὶ ἀγχινόου Πυκιμήδης,
　Ἄσκρης ἐνναέτης, οἶδεν ἀμησάμενος.
Σοῦ γὰρ ὕπο τραφθεὶς μεγαλώνυμε, χειρὶ δ' ἐχέτλην
　Τῇ μὲν ἀερτάζων, τῇ δὲ μέγα δρέπανον,
Ἄρτον τ' ὀκλάβλωμον, ἀεικέα λιμὸν ἀμύνειν,
　Πλουτίης κορυφὴν δρέψατ' ἀπ' ἰδμοσύνης.
Τῶν δέ σοι ἀγλαόκαρπα θαλύσια δῶκε κομίζειν,
　Μελπομένη γλυκερῆς ἔργα γεηπονίης·

Σωφροσύνην δ' ἐδίδαξε, καὶ ὡς πλέον ἥμισυ παντὸς,
 Ἐκ Μουσέων σοφίης μέτρα διδασκόμενος.
Ἀλλὰ γέρον μάλα χαῖρε, πανόλβιε· σοὶ γὰρ ἔνεγκε
 Πολλὴν καὶ πινυτὴν γαῖα φυτοσπορίην.

ΕἸΣ ΘΑΛΗ͂Ν.

Ἑπτὰ σοφῶν τὰ πρῶτα Θαλῆν τέκε δῖα Μίλητος,
 Ἀστέρα κάλλιστον Πλειάδος Ἑλλαδικῆς.
Ὕδωρ δ' οἱ πέλε πάντα· τὸ ἐκ γὰρ φησὶ φύεσθαι
 Ὅσσα πανομφαῖος δέρκεται ἠέλιος.
Πρῶτος δ' οὐρανὸν εὗρεν ἀπὸ χθονὸς ἀμφιπολεῦσας,
 Ἐς πόλον ἠέρθη τὸν πάρος ἐξέμαθε.

ΕἸΣ ΣΟΛΩΝΑ

Αἶε γέρον, σὺ μὲν ἀστέρα ἀμαυροτάτην κατὰ νύκτα
 Παισὶν Ἐρεχθῆος τειρομένοις ἐφάνης,
Σείων πρῶτα μὲν ἄχθος Ἀθηναίοις ἀπὸ πᾶσι,
 Κοινῇ δουλοσύνην καὶ χρέα λυσάμενος·
Εἶτα νόμους, νέον ἄχθος, ἀμειλίκτοιο Δράκοντος,
 Θεσμῶν μειλιχίων σῶν διαμειβόμενος.
Πάτρης δ' αὖ Σαλαμῖνος ἀπώσαο δούλιον ἦμαρ,
 Καλῶς ἀφραδέων, καὶ σοφὰ μαινόμενος.

ΕἸΣ

ΕΙΣ ΚΛΕΟΒΟΥΛΟΝ.

Οὐδ᾽ ἐμὲ τὸν Κλεόβουλον ἀπείργαν Λίνδος ἔπηλυς
  Ζωᾶς τᾶς βροτέας, οὐ μὰ τὸν Ἡρακλέα,
Τὸν προγονόν μου φανῆ· τῇ Ἑλλάδι φέγγος ἔθηκα,
  Θεσπίξας χρησμῶν πλῆθος ἀπειρεσίων.
Εἰ δ᾽ ὀλίγα μοι πατρίς· ὅρη Δία, τὸν πρὶν ἀνάσσειν
  Κρῆτες ἐνὶ σμικρῷ θρέψατε νασιδίῳ.

ΕΙΣ ΠΕΡΙΑΝΔΡΟΝ.

Οὐδὲ μάτην Περίανδρον ἀριστολόχοιο Κορίνθου
  Ἔτρεφε γῆ, σάθμην ἤθεος, ὄμμα δίκης.
Φασὶ δέ νιν πολλάς θ᾽ ὑποθημοσύνας καὶ ἀρίστας
  Μουσάων ἱεροῖς ἀνθέμεν ἐν ταλάροις.
Ἀλλὰ τὰ μὲν μῆνές τε περιπλόμενοί τ᾽ ἐνιαυτοὶ
  Κλέπται Μνημοσύνης ἥρπασαν ἠδ᾽ ἀρετῆς.
Οἱ δὲ τυραννοῦσαι ψεύσαντό νιν· ἡ γὰρ ἄνασσα
  Κοιρανίης ἄλλης οὐκ ἔθελαι Σοφία.

ΕΙΣ ΧΕΙΛΩΝΑ.

Χείλων ὡ᾽κ Σπάρτας εἰμὶ ξένε· τᾶς δὲ πόληος
  Πρεσβύτην ἀμελέρας κάρτα τοι ἐμπεδάμως·
Χρήσιμα δ᾽ ἐς βίον εἶπον ὅσα κόνις, οὐ πολύμυθος,
  Οὐδ᾽ ἀφαμαρτοεπὴς Ἀτθίδος ἐνναέτας.
Μῦθος γὰρ πυκνός τε, καὶ ἀστεροπαῖσιν ἐοικώς,
  Ἁ σοφία μώνων τῶν Λακεδαιμονίων.

ὩΣ ἈΠῸ ΠΙΤΤΑΚΟΥ.

Τὸν Μιτυληναῖον πρόμον εἴσιδε Πιττακὸν ἥρω,
Τὸν σοφίην δεινὸν φῶτα, καὶ ἠνορέην.
Ἦν δ' ἀπιθὴς, Φρυνῶνά μοι εἴρεο, πῶς ἐκύλισα,
Ἐν δαΐ νιν, κρυπτὴν ἀμφιβαλὼν παγίδα.
Πολλὰ δὲ θέσπιζον μάλα καίρια· τὴν χάριν αἰεὶ
Πάτρην ἡμετέρην φημί μοι ἐκτελέσθαι.
Εἰ δὲ καὶ Ἀλκαῖός μοι ἐπέχραε, τί πλέον ἤδη;
Οὐκ ἐπ' ἐμοὶ γλωσσῶν συκοφάνταις ἀδίκων.

ὩΣ ἈΠΟ' ΒΙ'ΑΝΤΟΣ.

Ἥρως Τευταμίδης, ὁ σοφοῖς ἐναρίθμιος ἄλλοις
Ἑλλάδος ἀρχαίης, εἰμὶ Βίας ὁ γέρων,
Κρείσσων τῆς πενίης καὶ ἀπόρθητος κατ' Ἄρηα,
Πάσης ἡμετέρης γῆς κεραϊζομένης.
Μοῦνος γὰρ σοφίης πλοῦτος βαθὺς, οὔτε λεϊστὸς
Οὔτε δορύκτητος γίνεται ἐν πολέμῳ.

ΕἸΣ ἈΝΑ'ΧΑΡΣΙΝ.

Ἦρα μάτην Ἀνάχαρσι ποθ' Ἑλλάδα κυδιάνειραν
Τῆς σοφίης πολλὴν ἦλθες ἐπ' ἐμπορίην,
Ὄφρα νόμους πίθηθα καὶ ἀγλαὰ θεσμὰ πολίταις
Τοῖσι γαλακτοφάγοις σοῖς καὶ ἀμαξοβίοις.
Ἀλλ' οὐ τοξοφόροισι νόμων μέλει, οἵ σοι ὀϊστὸν
Πέμπον ἀνώϊστον, καὶ μόρον αἰνόμορον.

ΕἸΣ ΜΥ͂ΣΩΝΑ ΤῸΝ ΧΗΝΕΆ.

Θεσμοθέτης Ἀνάχαρσις ὅτε Σκυθίης ἀπὸ γαίης
 Ἤλυθεν, Ἑλλήνων γλῶ περιερχόμενος,
Ἐζήτει Σοφίην τιν' ἰδεῖν στάσιμόν τε καὶ ἔργῳ
 Χρήσιμον, οὐχ' οἵην πολλάκι Κεκροπιδῶν·
Ῥητορικόν τι Σόφισμα, λόγοι μόνον, ἅσσα τε πάντα,
 Οὐδὲν πλὴν ἔειδες καὶ κενεοφροσύνη.
Ἦλθε δὲ καὶ κοίλην Λακεδαίμονα, μητέρα δίων
 Ἀνδρῶν κρινομένων ἐν δαῒ καὶ Σοφίῃ.
Εὗρε δ' ἐκεῖ Χηνεῦσι παρ' ὠγυγίοισι, γέροντα
 Χηνέα, μουνοβάτην, χώρῃ ἐν οἰοπόλῳ.
Ἦν δέ οἱ ἐν χερσὶ μέγας ἰσοβολὺς, τὸν ἀρότρῳ
 Ἥρμοσεν, ἀμφοτέρᾳ κοπτόμενος παλάμᾳ.
Τέχνη δ' ἔσκε γέροντι, γεηπονίην προλιπόντι,
 Παῖδας δὲ σφετέρους θρέψαι ἐπισταμένως,
Ἧς ἀλόχου προσελθεῖν ὅπη θέμις, οἶκον ἀέξειν
 Εὐμελέως, μέλημα δ' ἔργα δικαιοσύνης.
Καὶ τὰ μὲν ἴδμεναι εἶπεν, ἀτὰρ πλέον οὐδὲν ἄλλο,
 Τῆς καλῆς Σοφίης οὔποτε γευσάμενος.
Ταῦτα μαθὼν Ἀνάχαρσις, ἀνήλυθεν· εἶπε γὰρ εὑρεῖν
 Γυμνὴν τὴν Σοφίην, οὐ Σοφοερημοσύνην.

ΕἸΣ ἘΠΙΜΕΝΊΔΗΝ.

Ἦν τις θεῖος ἀνὴρ, ὁμοπάτριος, ἐν ποτε Κρήτῃ,
 Ζηνὸς ἐριγδούπου, μαντοσύνας δεδαώς.
Μέλψας δ' ὃς Κορύβαντας, ἰδὲ Κρήτεια φῦλα
 Κουρήτων μεγάλων, τῶν ποτε Ζεῦ τροφέων·

Ἀργώ τ' αὐδήεσσαν ἀνὰ μέλαν οἶδμα θέουσαν,
  Μούνην συνδρομάδων οὐκ ἀλεγιζομένην.
Πεντήκοντα δ' ἔτη κοιμήσατο, πρὸς δὲ καὶ ἑπτά,
  Τῆς δ' αὐτοῦ βιοτῆς εἶδε τριηκόσια.
Ταῦτα πάλαι Κρῆτες μὲν ἐείπασι· πολλὰ καὶ ἄλλα,
  Προσθέντες, μάλα δὴ τείρασιν εἰδόμενα.
Ἵλαθι Ζεῦ Κρήτεσσιν· ἀεὶ ψεῦσται γὰρ ἔασιν,
  Οὐ μοῦνον γενεὴν σὴν σφετεριζόμενοι.

ΕἸΣ ΦΕΡΕΚΎΔΗ.

Οὐδὲ τεὸν Φερέκυδες ἀγακλυτὸν εὖχος ὀλεῖται,
  Πρῶτον ἀληθείης φέγγος ἀνασχόμενε,
Πυθαγόρης σοφὸς οὐδὲν ὁ τηλίκος, ὃν σὺ δίδαξας
  Τὴν περὶ τῆς ψυχῆς πᾶσαν ἀληθοσύνην·
Ὡς μὲν ἀπήμαντός τε καὶ ἀθάνατος καὶ ἀγήρως,
  Θείη θ' ἡγεμόνη σκηνέος ἀνδρομέου.
Ταῦτα γνοὺς, φθείρεσσιν ὅλον δέμας ὡς βρύον εἶδες,
  Θυμὸν τῶν φθορέων εἶχες ὑπερτέρην.

ΕἸΣ ἈΝΑΞΑΓΌΡΑΝ.

Νῦν ἔμμεναι τὰ πρῶτα, καὶ ἐν θνητοῖσι, ἔφησθα,
  Πᾶσιν τ' ἀθανάτοις, πρῶτος Ἀναξαγόρα·
Τὸν γὰρ κοσμήσαντα χάος μέγα, τῇ πρὶν ἐφ' ὕλῃ
  Οἵην νῦν βλέπομεν τάξιν ἐνηνοχέναι.
Χαῖρ' Εὐβουλιάδη φαεσίμβροτε· ταῦτα γὰρ εἰπὼν
  Νοῦ πέρι, νοῦν πάσην εἶχες ὑπὲρ σοφίην.

ὩΣ ἈΠῸ ΣΩΚΡΆΤΟΥΣ.

Τὴν Σοφίης Πειθὼ, τὸ περιοσόνοον γλυκὺ φίλτρον
'Ατθίδος ἀρχαίης Σωκράτη εἰ ποθέεις,
Τὸν τοῦ Σειληνοῦ πανομοίιον αὐτῇ ἰδέαις,
Τ ν κανόνα μορφῆς, καίπερ ἀμορφότατον,
Αὐτὸς ξεῖνέ τοί εἰμι πανουργότατος παρὰ πάντας
Ἐν λόγῳ ἱστάναι δίκτυα καὶ παγίδας.
Αὐτὸς δ' οὐκ ἔχομαι, διαθρυπτόμενος καὶ ἀθύρων,
Καὶ πάλιν ἀκκίζων, καὶ προφασιζόμενος.
Εἶμι δ' ἐν Ἠλυσίοισιν ἀειπεδίοισι γεγηθὼς,
Ἔνθεα βακχεύων εἰσέτι καὶ μεθύων.
Αὐτοῦ τὸ γλυκερὸν καταγώγιον εἰσέτι ναίω,
Τὸ πρὸς τῇ πηγῇ, καὶ παρὰ τῇ πλατάνῳ.
Αὐτοῦ Γοργίεω τύφον πατῶ, ὡς τὸ πάροσθε,
Ἀντισοφιστεύω δ' εἰσέτι τῷ Προδίκῳ.
Εἰσέτι δὲ μηδέν φημ' εἰδέναι· ἐστὶ δὲ μούνη
Μοὶ σοφίη, σοφίης σχῆμά τι μηδεμιῆς.

ὩΣ ἈΠῸ ΞΕΝΟΦΩ͂ΝΤΟΣ.

Ὁ Γρύλλου παῖς εἰμὶ· τὸν ἀργυρότοξος Ἀπόλλων
Περσίδι σὺν, τηλοῦ πέμπε μαχεσσόμενον,
Σωκρατικοῦ μάλα δηρὸν ἀποσπασθέντα γάλακτος,
Ὥς τιν' ἀπὸ μαζῶν παῖδα καὶ ἀγκαλίδων.
Ἥμην δ' ἀμφοτέρῃ περιδέξιος· ἄλλοτε μὲν δὴ
Κήρυξ Μουσάων ἠπύτα καὶ χαρίτων,

Ἄλλοτε δ᾽ ἐν προμάχοισι κατὰ κλόνον ὀξὺν Ἄρηος
Ἀσπίδα νωμήσας γῆς ὑπὲρ ἡμετέρης.
Τῷ μὲν, Βαρβαρίης ἐξ Ἑλλάδα μοῦνος ἐρύσσας·
Τῷ δ᾽ αὖ Βαρβαρίην Ἑλλάδος ἐξελάσας.

ΕΙΣ ΦΑΙΔΩΝΑ ΤΟΝ ΣΩΚΡΑΤΟΥΣ ΤΑ παιδικὰ, ἐκ τῆς Ἠλειακῆς κατά τινας αἱρέτως προεστάμενοι. ὡς ἀπ᾽ αὐτοῦ.

Εἴ τινα που Φαίδωνα φίλον Χαρίτεσσιν ἀκούεις,
Ἠλεῖον, πατέρων παῖδά ποτ᾽ εὐγενέων,
Δουλοσύνης δ᾽ ἄρα πάλιν πειρώμενον, αὐτὰρ ἔπειτα
Αὖθις δουλοσύνης ἄχθος ἀπωσάμενον,
Ξεῖνε πέπον, τοῖός τι ἔην· ἴδε τὴν κεφαλήν μου,
Καλὸν Σωκρατικῆς παίγνιον εὐφροσύνης·
Οἷα γὰρ ἐψιάασκε καταψήσας ἐ καὶ ἄκρου,
Εὐθύς σοι θεῖος φῆσεν Ἀριστοκλέης.
Ἀλλ᾽ οὐ τὴν τρυφερήν μου ἐπαυχένιον τρίχα δήεις;
Τὴν γὰρ ὅπασσα φέρειν κείνῳ ἀποιχομένῳ.
Ὥς ποτε Πηλείδαο κέαρ μέγα, τὴν πρὶν ἔβοσκε,
Ἐν Φθίῃ κταμένῳ κεῖρε Μενοιτιάδῃ.

ΕΙΣ ΤΑΣ ΤΟΥ ΠΛΑΤΩΝΟΣ ΒΙΒΛΟΥΣ.

Παῖδες Ἀριστοκλέοις, θεῖος τόκος, εὖχος Ἀθηνῶν,
Σωκρατικῆς ἱεραὶ μάρτυρες εὐεπίης,
Ὑμέας ἐσσομένας μαντεύσατο δία μέλισσα,
Χείλεσιν ἀχράντοις κείνου ἐφεζομένη.
Αὐτὰς ὁ καλὰ πρόσωπα καὶ ἱμερόεν στόμα Φαίδρου

Γεά-

Γράψατο, καὶ μαλακοῦ φάεα Χαρμίδεω.
Ναὶ ναὶ σώζετέ μοι τὸν Σωκράτη αἰὲν ἐόντα,
Καὶ μὴ σοῦ δεσμοὺς, καὶ μὴ τὸν θάνατον.
Ἀλλ' ὅπι καὶ ζώει καὶ ἀγήραος ἔσεται αἰεὶ,
Τῷ Μελίτῳ κατά μοι λέξατε, τῷ τ' Ἀνύτῳ.

ἘΚ ΤΩ͂Ν ΤΟΥ͂ ΠΛΑ΄ΤΩΝΟΣ ΚΑ΄ΤΟΧΟΣ.

Ἔρρετε θηλύτεραι καὶ παρθένοι, ἔρρετ' ἔρωτες,
Καὶ κῶμοι, καί μοι χαίρετε παννυχίδες,
Χαῖρ' αὐτὴ Κυθέρεια δολοπλόκε· χαῖρε δὲ καὶ σὺ
Τοξότα λωβητὴς, κοῦρε φαρετροφόρε·
Ἄλλος ἔρως, ἄλλος δέ μ' ἔχει πόθος· ἐς χάριν ἄλλων,
Καὶ τὰς Σωκρατικὰς ἀποδίδομεν ἀγλαΐας.
Οὐ γὰρ ἐμοὶ σεμνῆς σοφίης μέλει· οὐκ ἄγαμαι δὲ
Τοὺς πωγωνιάδας, τοὺς σοβαροιομένους.
Αὐτοῦ δ', εἰσορέων τρυφερὴν Φαίδωνος ἐθείρην,
Κεῖνον δὲ μαλακῶς τῆσδε καθαπτόμενον,
Χαρμίδεω δ' ὀφθαλμὸν ἀμήχανον, ἄστρον ἔρωτος,
Καὶ τὸν Κλεινίεω παῖδα μεθυσφαλέα,
Οὐδὲν προσδέομαι Γανυμήδεος· οἰνοχοεῖ γὰρ
Αὐτὸς ἐμοὶ θεῖος νέκταρ Ἀρισονίδης.

ΕἸΣ ΜΑ΄ΞΙΜΟΝ ΤῸΝ ΤΥ΄ΡΙΟΝ,
Πλατωνικὸν ὄντα φιλόσοφον.

Σωκρατικῶν μελίγηρυν ἀηδόνα μαντοσυνάων,
Ἀρχελύπου πιστὸν φέγγος ἐτηλυμίης

Μάξιμον αἱ Λιβάνοιο χορευλίδες ἔτρεφον Ὧραι,
Δέξατο δὲ μεγάλων κοίρανος Αὐσονίων·
Τέττιξι προτέροις πανόμοιον, οἵ ποτ' Ἀθήνης
Δένδρεσιν ἀρχαίοις ἦδον ἐφεζόμενοι.
Χαῖρε καὶ ἐν νεκροῖς φίλε Σώκρατες, ἀντὶ δὲ φίλτρου
Τέρπεο σῇ νέκταρ σπενδόμενος κύλικι.
Ἦ ῥα καὶ εἰν Ἀΐδαο πολὺ προβέβηκας ἁπάντων,
Σῇ γλυκερῇ δαμάσας Αὐσονίους σοφίῃ.

ΕἸΣ ΤῸΝ ΑΥ̓ΤΌΝ.

Ἱμερόεντα Πλάτωνα θεοῖς ἐναλίγκιον ἥρω
Ὕπνῳ καὶ γλυκερῷ κώματι θελγόμενον,
Βρέξέ τε καὶ μέλι μήδετ' ἐπὶ στομάτεσσι μέλισσα,
Μελλούσης ἱερὴ μάντις εὐλαλίης·
Τοῦτο τεαῖς σελίδεσσιν ἐπιβλύει εἰσέτι καὶ νῦν
Μάξιμε, θειοτάτης κληρονόμ' εὐεπίης.
Ἔνθεν δ' Αὐσονίων μέγας ὄρχαμος αὐτὸς ἔλειξεν,
Ὡς γάλα, μητρῴων εὐθὺς ἀπὸ λαγόνων.
Ῥώμη δηρὸν ἄασε, γάλα στάξασα λυκαινῶν
Ἥρωσι προτέροις, νῦν μέλι βομβυλέων.

ΕΙΣ ΑΡΚΕΣΙΛΑΟΝ ΤΕ ΚΑΙ ΛΑΚΥΔΗΝ, ΤΩ μετὰ τὸν Σωκράτη καὶ Πλάτωνα τὴν μέσην τε καὶ νέαν Ἀκαδημίαν καταστησαμένω.

Πολλοὶ σοῖς Ἑκάδημέ ποτ' ἐν κήποισι πέτοντο
  Ὄρνιθες, σοφίης μοῦσαν ἀεισάμενοι.
Τῶν μὲν Ἀριστοκλέης, ἡ ποικιλόφωνος ἀηδὼν,
  Ἦρξατο, παντοῖον φθόγγον ἀφιεμένη,
Δεινὴν, ῥητορόμικτον, ἀεὶ δ' ἐτύμοισιν ὁμοίην,
  Καλὸν Σωκρατικῆς ἀντίτυπον κραδίης.
Τὸν δὲ μετ' Ἀρκεσίλαος ἀκρατοπότας ἀνόρουσε,
  Καὶ πάλι Λακύδης ὤρτο μεθυσκόμενος,
Διάζειν δεδαῶτε καὶ ἀμφοτέρωσε ῥέποντε,
  Τιθέντ' οὐδὲν ὅλως οὐδ' ἀποφηναμένω·
Οἷά τις οἰνοπάτακτος ἀλήθει καὶ ἀγυιὰς,
  Δοχμώσας κεφαλὴν, καὶ πόδας ἀσταθέων.
Τὼ καί σφω Διόνυσος ἑαῖς κυλίκεσσι δαμάσσας,
  Ἄμφω ὀλισθαίνοντ' ἤγαγεν εἰς Ἀΐδην.

ΩΣ ΑΠΟ ΑΡΙΣΤΙΠΠΟΥ.

Εἰ μὲν ἔφυς φρόνιμός τε καὶ ἐκ φρονίμων γενετήρων,
  Μοῦνον Ἀριστίππου νῦν φρονέειν ἐρέεις.
Θυμὸν γὰρ πυκνόντε καὶ αἰόλον, ἄλλοτε δ' ἄλλον,
  Πρὸς παντὸς βιότου σχῆμα μεθηρμοσάμην.
Δὸς λάχανόν μοι ξεῖνε, καὶ ἐκ Διὸς ὑδάπόν τι,
  Οἷά τε γαῖα φέρει· συμπεριοισόμεθα.

Πέρδικα δὸς καὶ ἄκρατον ἐμοὶ Λέσβοιοπολίτην·
  Αὐτίκα σοι φήσω· τί λαχάνῳ καὶ ἐμοί;
Σωφροσύνης ἔραμαι καὶ Λαΐδος, οὐδέ τι ὄλβον
  Οὔτ' ἀκτημοσύνην πάντη ἀποστρέφομαι.
Εἴη πορφυρέη σε διπλοῖς; αὐτίκα φήσεις
  Νῦν μὲν Ἀλέξανδρον, νῦν δέ με Διογένην.

ὩΣ ἈΠῸ ΒΊΩΝΟΣ.

Εἰ γενεήν μου ξεῖνε διείρεαι ἠδὲ τοκῆας,
  Ταῦτα προφρονέως πάντα σοι ἐξανύω.
Πάτρων βάρβαρός εἰμι, Βορυσθένεος δὲ πολίτης·
  Γενόμενος γαίης τηλόθεν Ἑλλαδικῆς.
Ἔσκε δέ μοι γενέτης ταριχέμπορος, ἱερὸν οὐδὲν,
  Πρίν ποτε δουλώσας ἀνέρα λευγαλέῳ·
Πλὴν στικτὸν δέ οἱ ἔσκε καλάγραπτόν τε πρόσωπον,
  Πιστὸν ἀμειδήτου τέκμαρ ἀνακτορίης.
Αὐτὰρ ὁ παλλακίδα κλυτὸν ἤγαγεν ὄνδε δόμονδε,
  Πᾶσι μιγνυμένην, χρῆμά τι δημοτελές.
Ἐκ τῶν φημὶ γενέσθαι· ὁ δὲ μετέπειτα πανοικεὶ
  Πέρνατο, ἐργάσαντας πολλὰ τὰ μὴ θέμιδες.
Ἀνὴρ δὲ πειρᾶταί τις ἐμὲ κτεάτεσσιν ἑοῖσιν,
  Πολλὰ δ' ἐὸν στέρξας θῆκέ με κληρονόμον.
Τὰς σοφίης ἐπέβηστα· Βίων δέ τι εὔχομαι εἶναι.
  Οὐδὲν πρὸς τούτοις ὁ φθόνος οἶδε λέγειν.

Ὡς

ὩΣ ἈΠΟ' ἈΡΙΣΤΟΤΕ'ΛΟΥΣ.

Μήκυνον τεὸν οἶκον ὀλύμπιον, ὄφρα δέχηαι
 Ζεῦ μετ' Ἀλέξανδρον, θεῖον Ἀριστοτέλη·
Καγὼ γὰρ κλεινόν τε καὶ ἀγλαὸν εὔχομαι εἶναι
 Τῆς μεγαλαυχήτου θρέμμα Μακηδονίης.
Ἢ κόσμον μείζω τε καὶ εὐρύτερον πάλιν ἄλλον
 Τόνδε μετ' χθόνιον τεῦχε καὶ οὐράνιον.
Τοσσίχος ἀμφοτέρων κλέος οὐ χάδε· τῇ μὲν Ἄρηος
 Μείων ἡμετέρου, τῇ δὲ δαημοσύνης.

ΕἸΣ ΤΟ'Ν ΑΥ'ΤΟ'Ν.

Δαίμονα τῶν μερόπων, τὸν Νικομάχου γενετῆρα,
 Τῶν Ἀσκληπιαδῶν φέγγος Ἀριστοτέλη,
Τὸν γαίης κρατέοντος Ἀλεξάνδροιο πολίτην
 Καὶ τροφὸν, ὡς Χείρων τόν ποτε Πηλείδου,
Τῆς σοφίης κρατέοντα, φέρει τότε καὶ τότε φαίνει,
 Γῆς ὅτε τῆς πάσης ἡ Μακετὶς κρατέει.

ΕἸΣ ΘΕΟ'ΦΡΑΣΤΟΝ.

Οἷον Ὑμηττείοισιν ἐνὶ σμήνεσσι μέλισσαι,
 Μητέρες ἡδίστου νέκταρος, ἐξεπόνουν,
Τοῖον καὶ Θεόφραστος ἀπὸ στόματος μέλι χεύει,
 Ἀχράντου σοφίης ἡδύτατος ταμίης.

Αὐτὰρ ὁ δένδρεα καλὰ, καὶ ἄνθεα, καὶ φυτὰ πάντα
Γαίης ἠϋκόμου τέκνα σοι ἐξερέει.
Αἰεὶ γὰρ κύρισιν ἐφήμενος, οἷα μέλισσαι,
Εὐεπίης νέκταρ μήδεος καὶ σοφίης.

ΕἸΣ ἈΝΤΙΣΘΈΝΗ.

Οὐδ' ἄρα σὺ μνάμας Ἀντίσθενες ἄμβροτες ἐσθλᾶς,
Ἀλλ' ἐπὶ νῦν πολλοῖς ἐστὶ διὰ στόματος.
Σὺ προκύων γὰρ ἔηθα· κύων δέ σοι αἰὲν ὑλακτῶν
Ἀνθρώπων βιοτὰν, ἔσπετο Διογένας.
Μοῦνος γάρ νιν ἔθρεψας, ἅτε σκύμνον, τὸν ἀν' ὕλαν
Λαβρὴν, καρχαλέον, θρέψέ τις ἀγρονόμος,
Δεῖμα μέγα κλέπτησιν ἐρημοβάτας διὰ νυκτὸς,
Ὀξὺν, θαρσοφόνον, σαινέμεναι δ' ἀδαῆ.
Χαίρετον ὑψίστου Διὸς ἀγγέλω. ἦ ῥα γὰρ ἦστον
Ἀσκητὰ κρατερᾶς ἄμφω ἀεθλοσύνας.

ὩΣ ἈΠΌ ΔΙΟΓΈΝΟΥΣ ΤΟΥ ΚΥΝΌΣ.

Ἁ μερόπων μάστιξ, ὁ Διὸς μεγάλοιο προφάτας,
Παντολμος γυμνᾶς μάρτυς ἀλαθείας,
Μηδένα μὲν σαίνων, πάντας δ' ὑλάων κατ' ἀγυιὰς,
Ἔμμι κύων. θεῖον δ' ὄνομα Διογένας.
Μώναν τὰν ἀρετὰν γυμνάσδομαι· ἃ δ' ἄλοχός μου·
Οὐ γὰρ τὰν ἀρχὰν ἔμμι γυναικοφίλας.
Ἀφρήτωρ δ', ἄπολις, πίθον οἰκέω, οἶκον ἄοικον,
Τῷ μέζω μου κτᾶσις πᾶσα περισσεύεται.

Μώνα

Μῶνα δ' ἁ πήρα μοι ἀεὶ καὶ βάκτρον ὀπαδεῖ,
Πιστὸν ἀκιβδάλω σκᾶπτρον ἐλευθερίας.
Θέρμοι δεῖπνον ἔασι· τόδ' αὐτόχυτον καλὸν ὕδωρ
Διψῶμες· κοτύλα δ' ἐντί μοι ἁ παλάμα.
Ὕμμες πολλὰ πέπαθε, πολὺ πλήω ποθέοντες·
Αὐτὸς δ' οὐδὲν ἔχων, οὐδενὸς ἐνδέομαι.

ΕΙ'Σ ΤΟ'Ν ΚΥΝΙΚΟ'Ν ΜΕ'ΝΙΠΠΟΝ.

Εἰ μὲν ἀεὶ ζακοτόν τε καὶ ἄῤῥητον καὶ ἀπηνῆ,
Ὦ ξένε, δειμαίνεις τὸν κύνα Διογένην·
Ἐστὶ κύων ἕτερός τις, ἀεὶ κνυζῶν τε, καὶ οὐρῇ
Σαίνων, ὅν κεν ἴδῃ φῶτα παρερχόμενον.
Λαίθαργος δέ τίς ἐστι· φυλάσσεο μή σε δάκησι,
Οὔατα καββάλλων, καὶ τάχα καγχαλόων.

ΕΙ'Σ ΜΕΝΕ'ΔΗΜΟΝ ΤΟ'Ν ΚΥ'ΝΑ.

Εἰμὶ Κύων Μενέδαμος, Ἐριννύσι ταῖς ὑπὸ γαίῃ
Νυκτὸς κυανέας παισὶν ἐισκόμενος.
Οἷος δ' ὁ τρικάρανος ἐν Ἅιδι πάντας ὑλακτεῖ,
Τοῖος τὸν βίοτον πάντα περισπέρχομαι.
Κἀμὲ γὰρ αὐτὰ πέμψε κατάσκοπον ἔμμεν ἀλιτρῶν
Ἁγνὰ Περσεφόνα, Ζεύς τε καταχθόνιος.
Εἴσιδε τὸν πωγωνά μου, ἡλίκος ἐστὶ καὶ οἷος,
Ὀρθότριξ, ὕλα δ' ὥς τις ἀεὶ κομόων.
Οἶδα δ' ἐκ μελίας αἰεὶ χάδε δεξιτερά μου
Ἔμβριθα κορυνάν, ὡς τὺ παραξομένα.

Οἶος δ' αὖ πόδας ἀμφοτέρως ὑπόδασε κόθορνος,
Πῖλος δ' εὐμεγέθας κρᾶτα περισκιάει.
Ἀλλὰ φυλάσσεσθε στυγερὸν γῆρας· εἰμὶ γὰρ ὑμῖν
Πλεῖστι μεγάλῳ τὸν βίον ἐξερέων.

ΕἸΣ ΤΟΥ͂Σ ΣΤΩΪΚΟΥ͂Σ.

Ὦ στοϊκᾶν δοξᾶν ζαλάμονες, ὦ μεγάθυμοι
Κάρυκες σεμνᾶς καὶ πατέρες σοφίας,
Σωφροσύνας ὑποφᾶται ἀμύμονες, ἄκρα φέροντες
Τᾶς ὑψαγορίας καὶ μεγαλοφροσύνας·
Ὕμμες ταὶ ψυχαὶ τετυλωμένοι, ὥς τις ἀροτρεὺς
Ἤ τις ἀμαξάων ἐργάτα τὰν παλάμαν,
Οὐδὲν προσδοκόωντες, ἀμίσθωτοι καὶ ἄποινοι,
Μώναν αὐτάρκη θάκετε τὰν ἀρέταν,
Αἰὲν ἀδούλωτοι, καὶ ἀνέλπιστοι, καὶ ἄτρεστοι·
Μῶνοι τῶ μεγάλω Ζανὸς ὁμορρόφιοι.
Ἄλλοι δ' ἀδυπάθημα μόνον τέλος ἀνδράσι θέντες,
Ἄμμι κιναιδείαν προὐθέσθαν, οὐ σοφίαν.

ΕἸΣ ΖΗ͂ΝΩΝΑ ΤῸΝ ΚΙΤΤΙΕ͂Α.

Εἰ μὲν ἔφυς τις, ξεῖνε φίλος, κόσμοιο πολίτας,
Γεινόμενος σαλᾶν ἔνδοθεν Ἡρακλεᾶν,
Ἀκαμάτω Φαέθοντος ἰδὼν τηλεσκόπον αἴγλαν,
Οἷά τοι ἀνθρώπων φῦλα πολυσπερέων,
Ζήνωνος μεγάλω φάτιν ἔκλυες, ὃν τέκε Κύπρος,
Κιτιέως, ἀνδρὸς, καὶ μὰ τὸν, εὐαρέτω,

Τόν

Τόν ποτε Σιδονίαθεν ἐπιπλώοντα θάλασσαν
 Ναῦν καταικαυάξας πόντος ἁλιρρόθιος
Τᾷ Σοφίᾳ τ' ἐπέλασσεν ὁμοῦ καὶ Παλλάδος ὅρμῳ·
 Τὰς γὰρ Ἀθαναίων ἐς πόλιν ἐξικόμαν.
Ἐς δὲ Πολυγνώτω σοαὶ ἄλυθον, ἄχι θέμεθλα,
 Τᾶς πολυθρυλλάτω πάγνυτό μοι Σοφίας.
Ἔνθεν θέσκελοι ἄνδρες ἀμαιμάκετοί τ' ἐγένοντο,
 Σεμνοὶ ἀμυθάτω τέκτονες εὐφροσυνας,
Πλουτοδόται, βασιλῆες, ἐλευθερίας γενέτηρες,
 Μῶνοι ἀνίκατοι ταὶ ἀπαθῆ κραδίαν.
Ταὶ ἰδέαν μικρός τις ἔην· δέμας οὐχὶ θαλὸς,
 Δύσμορφος δ', ὥς τις γύργαθος εἰσιδέειν.
Ψυχᾶς δὲ μεγάλας τᾶσδ' εἵνεκα, καὶ τόδε μέσσᾳ
 Παῖδες Ἐρεχθᾶος σᾶσαν ἐνὶ τελόδῳ.

ΕΊΣ ΚΑΒΑ'ΝΘΗΝ.

Ἀντλεῖ θεῖε Κλέανθες ὁμοῦ σοφίῃ τε καὶ ὕδωρ·
 Μισθὸν γὰρ δόξαν οἴσεαι ἀθάνατον.
Πύκτας πρὶν ἐλέγευ· νῦν δ' αὖ πύκτῃσιν ἔοικας,
 Ἐν βίῳ ἀθλάσας, ὡς πάρος ἐν σαδίῳ.
Ἃ γὰρ ἐν ἀνθρώποις κακὸν ἁδονὰ ὕπ φατὸν,
 Πολλάκι πὺξ ὑπὸ σοῦ πίπτε τεαξαμένη.

ΕΊΣ ΧΡΥ'ΣΙΠΠΟΝ.

Οὐκ ἄρα μοῦνον ἔην ἐρίδων γένος, εἶπε καὶ Ἄσκρην
 Ὁ πρέσβυς ζαφελῆ πρίν ποτε βουκολέων,

Ἀλλὰ δύω γεγάασιν ἐπὶ χθονός· ἡ μὲν ἐρίσση,
   Ἡ δ' ἐπιμωμητή φησι καὶ ἀργαλέη.
Τρὶς μάκαρ, ὅστις ἔφυ κεῖνον χρόνον. ἦ ῥα τότ' ἀνδρῶν
   Χρυσείων γενεὴ δεύτερον ἐξεφάνη.
Νῦν δὲ λόγων κακόχαρτος ἀνὰ χθόνα δῆρις ὄρωρε,
   Μήτηρ λευγαλέης αἰσχρὰ διχοστασίης.
Μούνη δ' ἐν τύποισι τεὴ Χρύσιππε μενοινὴ,
   Εἰς ἐρίδων πολλὰς ἤγαγε μυριάδας.

ὩΣ ἈΠΟ' ἘΠΙΚΤΗ'ΤΟΥ.

Ζεῦ πάτερ, ἐκ σέο φημὶ πένης δοῦλός τε γενέσθαι,
   Χωλαίνων θ' ἕτερον τὸν πόδα, πηρομελής.
Αὐτὰρ δὲ πλοῦτον καὶ ἐλευθερίην μοι ὄπασσε
   Ἀμετέρας ψυχᾶς ἁ στερεοφροσύνα.
Τὴν γὰρ ἀνάγκας ἐκτὸς ἀδουλωτόν τε φύλαξα,
   Οὐδὲν ἀποκλίνων οὐδ' ἀεκαζόμενος·
Αἰεὶ δ' ἀσσεμφῆ τε ἀναλγέα σὸν πρὸς ὄλυμπον
   Ἐκ τᾶς τλαμοσύνας αὐχέν' ἀειρόμενος.
Τὼς τε θηλύσαι πάρος Εὐρυσθῆι λέγοντι
   Σὸν λεοντοφόνον παῖδα τε ὑδρομάχον.
Ἀλλὰ πύλας πέτασόν μοι ὀλύμπε· τὰς γὰρ ἄνοιξεν
   Ἀσκήσας ταύτην Ἡρακλέης σοφίην.

ΕἸΣ ΤΟΥ'Σ ΠΥΘΑΓΟΡΙΚΟΥ'Σ.

Πυθαγόρου πελόμεσθα παλαιά τε καλά τε τέκνα,
   Ὠνέρος ἀρχαίω, τῶ ποκα Πανθοΐδα.

Ἀλ-

Ἄλλοι ἐν ἀλλάλοισιν ἐρειδμαίνοντι λόγοισιν·
  Ἄμμες μισέομες τὰν ἀθυρεστομίαν,
Αἰεὶ δ᾽ ἀσκέομες μώναν τὰ πρᾶτα σιωπάν,
  Ἶσον δὲ ψυχᾶν καὶ κυάμων ἀπέχειν·
Ἐντὶ γὰρ αἰδοίοισι, μὰ τὸν παραδόντα τετρακτὺν,
  Ἁ μορφὰ τήνων ἴκελος εἰσορόαν.
Πολλὰ μὲν ἄλλα καὶ ἐσθλὰ διδάσκομες, ἄλλοκα βίβλοις,
  Ἄλλοκα δ᾽ ἀνθρώποις ἐς λόγον ἐρχόμενοι.
Δωριέες δὲ λαλεῦμες ἀεὶ Δωριστί· φιλεῖ γὰρ
  Ἁ σοφία τήναν τὰν πλατυσυλλαβίαν.

ΕἸΣ ΤᾺΣ ΠΥΘΑΓΟΡΙΚᾺΣ ΓΥΝΑΙ͂ΚΑΣ.

Οὐ κλένα κοσμοκόμαν, οὐκ ἄμπυκας, οὐδὲ κάτοπτρα,
  Οὐ μίτρν, οὐκ ἐρίων ἐργάτιν ἀλακάταν
Οὐ δαίς μαν τάδε· σαοφροσύναν δὲ καὶ αἰδῶ,
  Καὶ τὰν πενταετᾶ μέρμερον ἀσυχίαν,
Βίβλως τε ψυχᾶν μναμάϊα τῶν ποκα δήναν,
  Λάτρειν τ᾽ ἀενάω μναμοσύνας γραφίδα.
Ἀνδράσι δὲ μώναι πολεμίσδομες ὀξὺ νόαμα,
  Καὶ τὰν αἰῶνος σύντροφον εὔκλείαν.
Ἄμμε γὰρ ἰδμοσύναν κρέσσω τ᾽ ἐμύασεν Ἀθάνα
  Ὁ πρὶν Πανθοΐδας, νῦν δ᾽ ἄρα Πυθαγόρας.

ὩΣ ἈΠΟ῾ ΠΥΘΑΓΟ῾ΡΟΥ.

Πυθαγόρης σοφός εἰμι· τὸν ἐν Σάμῳ αὐτὸς Ἀπόλλων
Ἤροσεν, ὡς φῆμαί φασι παλαιότατοι.
Εὔφορβος γενόμην ποθ' ὁ Πανθοΐδης, ὁ κομήτης·
Κτεῖνε δέ μ' Ἀτρείδης ἐν δαῒ λευγαλέῃ.
Μέμνημαί μου ἐόντος ἀρηϊφίλου πολεμιστέω·
Νῦν δ' αὖ τῆς σοφίης ἐς πλέον ἐξικόμην.
Ἀλλὰ μονόψυχόν με δισώματον, ὦ ἄνα λήθης,
Αὖθι μετ' Εὔφορβον δέχνυσο Πυθαγόρην.

ΕἸΣ ἘΜΠΕΔΟΚΛΕ΄Α.

Ἐμπεδόκλεις τί τόσον μοι ἐπείγεαι; ἴσχεο τᾶσδε
Τᾶς κενεοσπούδω φιλομαθαμοσύνας.
Ἤδη Πυθαγόρα γὰρ ὅλαν καρύξαο σιγάν,
Μέτροις τοσσατίοις ἐς φάος ἐξαγαγών.
Τῷ τὴν τᾶς Αἴτνας ἄδεν ἀρίον· ὄφρα καθαρθεὶς
Ἔνθῃς εἰς Ἀΐδαν, καί τι διδασκόμενος.

ΕἸΣ ἘΠΙ΄ΧΑΡΜΟΝ.

Οἷον καί σ' Ἐπίχαρμε πάλαι τέκε νᾶσος ἀρίστα,
Πρᾶτον τᾶς γλυκερᾶς ἀνίοχον θυμέλας.
Πρᾶτος δ' ἐς σκανάν τε καὶ εἰς ὀχείβαντα μετᾶγες
Τὰν ἐχεμυθοῦσαν Πανθοΐδα σοφίαν.

ὩΣ ἈΠΟ͂ ΤΙΜΑΊΟΥ ΤΟΥ͂ ΛΟΚΡΟΥ͂.

Αἴ ποκα Δωριέων τὸ περικλυτὸν ἄστυ παρένθῃς
  Ναὶ θοᾷ, Λοκρῶν, ξεῖνε, ποτὶ ζεφύρῳ,
Τιμαίω μέμνασο παλαιοτάτω πολιᾶτα,
  Ἀνδρὸς τὰν σοφίαν ἀρμένω ἠδ' ἀρετάν.
Τῷ καὶ τοῖος ἐὼν τιμαιογραφεῖν ἀνέπεισα,
  Τὸν περικύδιστον παῖδα Περικτιόνας,
Τὸν χαρίεντα Πλάτωνα· τὰ γὰρ γεγραμμένα μοι πρὶν
  Εἶπε, παραφράσας ῥάμασι τοῖς ἰδίοις.
Εἶμεν νοῦν, ἅμα τῷ δὲ πθανάτειραν ἀνάγκην,
  Αἴτια συμπάντων τῶν ποκα γεινομένων.
Ἀλλὰ θεὸν κάῤῥω τῶνδ' ἔμμεναι· ὃς μὲν ἅπαντα
  Κτίσσέ τε, καὶ τάξιν θᾶκε κατὰ σφετέραν,
Ἀρχαγὸς, πρατουργὸς, ἐνὶ φρεσὶν ᾗσι κατίσχων
  Πάντων πρατότοκον ματέρα τὰν ἰδέαν,
Αὐταεὶ γεγαυῖαν, ἀποίατον καὶ ἄναρχον,
  Ἀρχέτυπον κόσμω δεύτερον ἐσομένω,
Αἰσθατῶ μεγάλοιο Θεῶ, τὸν δέρκομ[illegible] ἄντα·
  Προπρὸ γὰρ ὀφθαλμῶν κίνυται ἀμετέρων.
Τὸν δὲ μέγας τέκτων καθ' ἑὰν συμφράδμονα βουλὰν
  Πρὰν περιτορνεύσας, εἶτα καὶ ἐκτέλεσε.
Ταῦθ' ὑπό μευ μώνω μεμυαμένος ἔγραφε τῆνος,
  Τοῖσιν Ἀθηναίοις ἐς σαφὲς ἐκθέμενος.
Εὖ μὲν ἐπιγράψας ἐμὸν ὤνυμα· τἄλλα μὰ τὰν Δηῶ
  Κλέπτας ἐννυχίοις πάντᾳ εἰσκόμενος.

ΕἸΣ ΠΑΡΜΕΝΙΔΗΝ ΤῸΝ ἘΛΕΑΤΗΝ.

Ἢ οἷον Πύῤῥητος ἀκούομεν υἷα δῖον,
  Παρμενίδην, Μουσέων ἐκ κλέος ἀρνύμενον·
Ἀρχὰς μὲν φάμενον πάντων χθόνα καὶ πυρὸς ὁρμήν,
  Τόν θ' Ὑπεριονίδην ἔμπυρον ἠέλιον.
Ἐκ γὰρ τοῖο γενέθλης ἀπειρεσίων γένος ἀνδρῶν·
  Μοῦνον δὲ κείνην τὸν λόγον ἀτρεκέα.
Αἴσθησιν δ', ἀσαφῆ τε καὶ ἄστατον ἠπερόπευσιν
  Ἔμμεναι, αἰσχίστου ψεύδεος ἡγεμόνην.

ὩΣ ἈΠῸ ΕὐΔΟΞΟΥ.

Εὔδοξος πέλομαι· τὸ γὰρ οὔνομα καὶ κλέος ἡμέων
  Σημαίνει, δόξης ἐς πλέον ἱκόμενον.
Ἐστὶ δέ μου βίβλος μέγας οὐρανός, ἶσος ἁπάντῃ,
  Γράμματα δέ, χρύσεοι ἀστέρες οὐράνιοι,
Τέκνα Σελήνης πυριλαμπέα, νυκτὸς ὀπαδοί,
  Ὡράων κατὰ γῆν νυκτιφανεῖς γενέται.
Τοῖς νοῦς προσδέδεταί μου ἀεί, θεῖός τις ἀλήτης,
  Οὐλύμπου ναέτης, σύνδρομος ἠελίου.
Ἔνθεν ἐμὸν λυκάβαντα κατήγαγον ἐς χθόνα δῖαν,
  Τοῖς Κνιδίων τοῦτον παισὶ χαρισάμενος.

ὩΣ ἈΠΌ ἩΡΑΚΛΕΊΤΟΥ.

Τὸν σοφὸν Ἡράκλειτον ἰδὼν ξένε μή με παρέλθῃς,
  Καὶ γὰρ ὀνήϊστόν σοι λόγον ἐξερέω.
Φημὶ βίον κυκεῶνα, τὰ δ' ἀνθρωπήϊα πάντα
  Πρήγματά μοι δοκέει, ῥεῦμα καὶ ἄστασίη.
Αὐτὸς δ' οἰμώζων οἰμώζεμεναί σε κελεύω
  Ὅσσ' ἐθέλῃς· χαίρειν δ' ἡμέες οὐ λέγομεν.

ὩΣ ἈΠΌ ΔΗΜΟΚΡΊΤΟΥ.

Ἀβδήρων ὁ μέγιστος ὁ παντοδαπὸς πολιήτης
  Δημόκριτος τὸν ὁρῇς οὔ ποτε λυπέομαι.
Κόσμους δ' ἡγέομαι πλέονας καὶ ἀολλέας ἄλλους·
  Φημὶ δὲ πάντ' ἔμεναι πλήρεα τῶν ἀτόμων.
Τὴν δὲ γέλω αὐτόν τε τὸν οὐρανὸν ἀστερόεντα
  Ἐκ τῶν ὀρνύμεναί φημι καὶ ἐσσύμεναι.
Εὐεστὼ δὲ μόνην φιλέω καὶ καρτ' ἀγαπάζω·
  Τἄλλα δὲ πάνθ' ὁρόων κάρτα τι καγχαλόω.

ὩΣ ἈΠΌ ΞΕΝΟΦΆΝΟΥΣ.

Εἰμὶ Ξενοφάνης Κολοφώνιος, ἐν Κατάνῃ δὲ
  Ζῶον, τὴν Σικελὴν νῆσον ἐποιχόμενος.
Οὐδὲν μὲν σαφές ἠμι· δόκον δ' ἐπὶ πᾶσι τετύχθαι,
  Ἔχθρον ἀληθείης, τοῦ δ' ἀπάτης φυέτην.
Ἠμὶ δὲ καὶ κόσμους πλέονας πελέμεν καὶ ἀπείρους,

Ἐν δ' Θεὸν μορφὴν φημὶ δ' ἐ κυκλοέξη.
Ὑμεῖς δ' οἱ βροτέων, κενεοφροσύνης πλέοι ἀσκοὶ,
Θήκατε, τῖς δ' ὑμέων εἴδεσιν ἐμφερέα.
Μοιχόν τε κλέπτην τέ νιν ἔμμεναι· ὡς γὰρ Ὅμηρος
Ὁ ψεύδους προπάτωρ, οἶδέ νιν εὐκλείσας.
Τῷ καὶ βλήσειεζόν νιν ἀθέσφατα μυρία γράψας
Τῆς κατ' Ὀδυσσείης τῆς τε κατ' Ἰλιάδος.
Τοῦ δὲ μεθ', Ἡσίοδοιο καταίτρεχον ἀφραδέοντος,
Οἷα θεοὺς ὁ τάλας ποιεῖ ἀθανάτους.
Εἰ μὲν νυν σοφός ἐστι, προσέρχεο· πᾶς δὲ βέβηλος
Ἐστὶν Ὁμηρείδης, ἠδὲ φιλησίοδος.

ΕἸΣ ΜΈΛΙΣΣΟΝ.

Τεκνοῖ δ' ὑλήεσσα Σάμος ποτε καί σε Μέλισσε,
Ἀνέρα κύδιστον τῶν που ἀειδομένων.
Οὐ μὴν βιβλογράφον τιν' ἀεικέλιόν τε σοφιστὴν,
Τῶν ἐριδαντάων, τῶν σοφίης φλεδόνων·
Αὐτὰρ δὴ πολύβουλον, ἅμα πρόσσω καὶ ὀπίσσω,
Οἷά τις ἔμπειρος ναυτιλίης, ὁρόων.
Τῷ καὶ ἐπιστεύθης πολυώνυμον ἄστυ διοικεῖν,
Ἰχναίης θεράπων, καὶ φίλος Εὐνομίης.
Φῆσθα δ' ἀναλλοίωτον ἔμμεν τόδε πᾶν καὶ ἀγήρων,
Οὐδέ τι κινεῖσθαι, καίπερ ἀεὶ δοκέον.
Τῶν δὲ θεῶν πέρι, μηδὲν ἀπορρήδην ποτε θέσθαι,
Οὐδ' ἀποφήνασθαι, θεῖαν ἔμμεν σοφίην.

ὩΣ ἈΠΟ' ΖΗ'ΝΩΝΟΣ ΤΟΥ͂ 'ΕΛΕΑ'ΤΟΥ.

Πατρὶ φίλη, σέο μοῦνος ἐλεύθερον ἦμαρ ἐρύξω,
 Δουλεύειν γὰρ ὅλως οὐδὲν ἐπιστάμεθα.
Οὐκ ἐάα δὲ τύραννος. ἰὼ ψυχή, τί φοβοῖο;
 Τίς κεν ἀναγκάσσαι θυμὸν ἐλευθερίᾳ,
Τὸν θανέειν δεδαῶτα, τὸν ἄρρηκτον καὶ ἀναλγῆ,
 Τὸν καὶ τοῖς βασάνοις ἀντικορυσσόμενον;
Τὴν γλῶσσαν δὲ πρῶτα δακὼν ἀπό, θυμέ, δαΐσσω,
 Μή τι παρὰ γνώμην τήνδέ μοι ἐξερέῃ.

ΕἸΣ 'ΑΝΑ'ΞΑΡΧΟΝ.

Πρῶτον Ἀναξάρχου χαλκήλατον ἦτρ ἔλεγξε,
 Ὡς ἀτυράννευτον χρῆμά τι καὶ σαθερὸν
Τῆς σοφίης σθένος ἐστί· σιδηρείῳ γὰρ ἐν ὅλμῳ
 Κακκοφθείς, ἅτε τις καρτερὸς ἀκμόθετος,
Ὡς μὲν ἔφη ἄψεα πάντα λέλυται κατ᾽, ἔρρεε δ᾽ αἷμα,
 Σμερδνόν τι βλοσυροῖς ὄμμασι μειδιόων,
Κόπτετε κόπτετε φάσκεν· Ἀναξάρχοιο γὰρ ἤδη
 Θυλακὸς ἀσθενέει, κῆρ δέ μοι οὐ τρομέει.

ΕἸΣ ΠΥ'Ρ'ῬΩΝΑ.

Πύῤῥων ἀλλοπρόσαλλε πολύστροφε, θάμβος ἔχει με
 Σῆς πινυτοφροσύνης ἀμφὶ καὶ ἰδμοσύνης.

Στρωφῶν γὰρ νόον αἰὲν, ἐΰστροφον ἤΰτ' ἱμάντα,
Πρωτῆι μορφὴν εἴσατο καὶ σοφίην.
Ἀλλ' ὅταν ἐν μερόπεσσι διακεῖδον ἔμμεναι οὐδὲν
Ἀμφιταλαντεύων φῆσθα πω ἠδ' ἐπέχων,
Ἤδη Πυῤῥώνειος ἐγὼ πάλιν, ἐς σέο λόγων
Τὴν παραδοξοτάτην δόξαν, ὅλως τελέθω·
Κἀγὼ γὰρ, πότερόν σε παρήορον ἢ σοφὸν εἴπω,
Οὔ φημ' ἀτρεκέως ἴδμεναι, ἀλλ' ἐπέχω.

ὩΣ ἈΠΟ' ἘΠΙΚΟΥ'ΡΟΥ.

Εἰμὶ Νεοκλῆος πινυτὸν τέκος, ὀχλοαρέσκης,
Δημοκόπος θ' ἱερῆς ἡδυπαθοῦς σοφίης.
Εἰ δ' εὐδαιμονίην ποθέεις ξένε· τήν σοι ὀπάσσω·
Νόσφιν ἀτερπὲς κακῶν, καὶ χαλεπῶν καμάτων.
Πρὶν μὲν γραμματικῶν μέγ' ἔην κλέος, ἐν τριόδοισι
Νηπυτιευόμενος ληροδιδασκαλίδης.
Νῦν δ' αὖ λεπτολογῶ· τὰ δ' ἐμὰ μεταχόσμια ναίων,
Πρὶν γραμμοπλοκίδης, νῦν ἀτομοπλοκέω.

ΕἸΣ ΤΙ'ΜΩΝΑ ΤῸΝ ΣΙΛΛΟΓΡΑ'ΦΟΝ,
φιλόσοφον καὶ αὐτὸν ὄντα.

Οἷον Μελπομένης μετὰ τὸν βαρυηχέα μόχθον
Τῶν οἰνοσφαλέων παῖδες ἀεὶ Σατύρων
Ἤπια σιλλαίνουσιν, ἀνὰ δρυμούς τε καὶ ὕλην
Ἱστῶντες γλυκερὴν ἀμφὶ χοροστασίην·
Τοῖόν σοι μυκτῆρα θεοὶ θέσαν, ἀγλαὲ Τίμων,

Ὦ πολὺ καὶ στέξας, καὶ μέγα μειδιάσας.
Ὦ μάκαρ, ὢ πάντων καθυπέρτερε· καὶ γὰρ οἱ ἄλλοι
Ὅσσά ποτ' ἔγραψαν, τόσσα σὺ νῦν γελάεις.

ΕἸΣ ΓΡΩΤΙΟΝ ΤῸΝ ΠΑΝΤ.

Γρωτιάδη περίπυστε, τετιμένε πᾶσι θεοῖσιν,
Ἄρχων ἱστορίης, ἕρμα δικαιοσύνης,
Πᾶσαν τὴν σοφίην μεμυημένε. δέχνυσο τούσδε
Ἀνέρας, ἀρχαίης ἡγεμόνας σοφίης.
Εἰσὶ δὲ τεσσαράκοντα καὶ ἐννέα· τῶν κλέος αἰεὶ
Ἔσσετ', ἐκ Μουσῶν πάντῃ ἀειδόμενον.
Εἰ δὲ περισσοὶ ἔασι, τί τὸ πλέον; εἷς γὰρ ἀριθμὸν
Λείπων Γρωτιάδης ἄρτιον ἐκτελέσει.

ΕἸΣ ΤΌ, ὍΤΙ Ἡ ΦΙΛΟΣΟΦΊΑ ΤῸ ΠΡΩ͂ΤΟΝ ὙΠῸ Μουσαίου τε καὶ Λίνου καὶ Ὀρφέως, Ὁμήρου τε καὶ Ἡσιόδου, μετὰ τούτους δὲ Παρμενίδου καὶ Ἐμπεδοκλέους καὶ Μελίσσου, ἄλλων τε πολλῶν, τὸ πάλαι ἀσκηθεῖσα, καὶ οἷον γνήσιόν τι τῆς ποιήσεως θρέμμα οὖσα, ἔπειτα δὲ ὑπὸ τῶν σοφιστῶν ἐπιτηδευθεῖσα, καὶ τὴν τούτων φιλονεικίαν τε καὶ φορτικότητα ἀποστρεφομένη, πάλιν τῆς παρὰ Μουσῶν κομιδῆς, ὡς μάλιστα πρεπούσης ἑαυτῇ, τυγχάνειν ἀξιοῦται.

Ἡ σοφίη θρεφθεῖσα παλαιγενέων ὑπ' ἀοιδῶν,
Οἷα παρ' ἄγραυλος μηλέει παρθενική,
Εἰς τοὺς λεσχομάχας μεταβαινομένη φύγεν ἄνδρας,
Τοὺς Μουσῶν φθορέας, τοὺς ἐρίδων προπόλους,
Ὡς δ' ἴδε τὸν πώγωνα μέγαν Ζήνωνος ἄνακτος,
Αὐτὸν δὲ μαλακῶς πὰρ πυρὶ κεκλιμένον,
Θέρμους ἀμφαφόωντα σοφῶς μάλα, καὶ τὸν ἀλήτην
Ἥρω βακτροφόρον, τὸν κύνα Διογένη,

Τόνθ' Ἡράκλειτον μάλα δάκρυσιν ἀμφὶ ῥέοντα,
Τόντ' Ἐπικούρειον νοῦν ἀτομοπλοκίδαν,
Οὐδὲν ἀνδρεοῦσα μεγάλη θεὸς, ἢ κενὸν ἀσκὸν
Δοξοσόφου μανίης, καὶ λογοδαιδαλίης,
Ἐψεῖν μὲν Ζήνωνα φακῆν ὡς πρῶτον ἔασε,
Τὸν κύνα δ' εἴργειν ὡς πάρος, ἠδ' ὑλάειν,
Κλαίειν δ' Ἡράκλειτον, ὅσον φίλον ἔπλετο θυμῷ,
Τὸν δ' ἀτόμους τέμνειν τὰς ἀπεραντολόγους·
Αὐτὴ δ' ἐς Μουσέων γλυκερὸν πάλιν ἤλυθε κόλπον
Φεύγουσα, περὶ ὧν ἔχε τὴν κομιδήν.

ΤΙΝᾺ ἘΡΩΤΙΚΑ'.

ἘΡΩΤΟΠΑΙ'ΓΝΙΟΝ, τῆς ΔΗΜΟΦΙ'ΛΗΣ ΠΕ'ΡΙ.

Τὴν γλυκυμυθοῦσαν μάλα καίρια, τὴν γελόωσαν
Τῆς ἀναδυομένης ἦδιον Ἀφροδίτης,
Δημοφίλην ἴδον ἄρτι παρήμενος· αὐτὰρ Ἔρως με
Μέχρι καὶ εἰς ὀστοῦν ἔσχατον ἠνθράκισε.
Τὴν δειρὴν δ' ἐφίλησα, τό, τε στόμα θεῖον ἔδεθλον
Πειθοῦς θελξινόου, τὴν ἀπάτης θυείδα.
Ἡδὺ δὲ πόππυζόν τι βαλὼν ἐπὶ χείλεσι χείλη·
Ἡδ' ἀποκλινομένη καὶ πλέον ἠρέθισε.
Αὐχένα γὰρ δόχμωσεν, ἑὸν δ' ἔκρυψε πρόσωπον,
Ὥς τις ἀνηναμένη· λάθρα δέ μ' ἀντεφίλει.
Αὐτίκα δὲ κοράεσκον ἀναινομένην περ, ἀνάγκη,
Χερσὶ περιπλέγδην πολλάκις ἀγκαλίσας.
Πολλάκι δ' ἐψιθύριζον ἐν οὔασιν ἡδύ τι ῥῆμα·
Τῆς δ' ἀπαμειβομένης νεύματι λαθριδίῳ,

Ἀφ-

Ἄφθογγός τις μῦθος ἀφήκατο, φωνὴ ἄφωνος,
 Ἑρμηνεία σαφὴς ὄμματος ἀμφοτέρου.
Νῦν δὲ τάλας νιφετοῖσι πανείκελος ἀμφὶ τέθηπα,
 Τοῖς κατ' ἔαρ πρῶτον, τοῖς καταλειβομένοις.
Θυμὸς δ' ἐκπέταταί μου, ἐνὶ φλογοειδέσι κείνης
 Ὥς τις ξεῖνος ἀεὶ φάεσι ναιετάων.
Αὐτὸς δ', ὡς βέμβιξ τις ὑπὸ πληγῆσι λιγείης
 Δινεῖται κατὰ γῆν, ἀμφιπεριστρέφομαι.
Καλλιόπη τί γενοίμεθ'; ἢ ἐννέα μοι μίαν οἴην
 Ῥήμασιν αἱμυλίοις πείθετε παρθενικὴν,
Ἄστοργον, φυγόλεκτρον· ἢ ὑμέες αὐτίκα πᾶσαι
 Ἀντὶ μιῆς κοῦραι χαίρετε παρθενικῆς.

ΕἸΣ ΤῊΝ ΑὐΤῊΝ.

Ἡ Πειθὼ στομάτεσσιν ἐφιζάνει ἡδὺ λαλούσης
 Δημοφίλης· ὁ δ' Ἔρως ῥήμασιν ἐνδιάει·
Ἀστεροπῆς τε Ζηνὸς ἐν ὀφθαλμοῖσιν ὁρῶμεν
 Μαρμαρυγάς· στήθη δ', ἕδρανα τῶν Χαρίτων·
Τῆς δ' Ἥρης τὸ μέτωπον· ἐπισκύνιον δ' ὅταν ἕλκῃ,
 Ὥς τι χολωσαμένη, Τριτογενοῦς ὁράας.
Τῆς Παφίης ὁ γέλως, ὁ δολοπλόκος, οὐξ ὀνύχων μοι
 Μέχρι καὶ ἐς χεῖλη τὴν κραδίην ἐρύων.
Ἀλλά, πόποι, τὸ μὲν αὖ τὸ φιλημάτιον, τίνος ἢ τί
 Εἴπω; τὸ φθονερὸν, καὶ κακοτεχνότατον.
Ἱλήκοιτε θεοί· κενὸς οὐρανός. οὐ θεὸς ἐστιν
 Οὐδενὸς οὔτε θεῆς, ἀλλὰ τὸ Δημοφίλης.

ΕΙ'Σ ΤΗ'Ν ΧΡΥΣΗ'Ν 'ΑΦΡΟΔΙ'ΤΗΝ.

Δημοφίλης ἔραμαι· Κύπρις δέ μοι αἰὲν ὀπηδεῖ,
Πάντα δέ μου ψυχῆς τὤσέα, καὶ φλεγέθει.
Ἔστι δ' τ' ἄλλα μὲν ἴσα· τόθ' ἠλικίης νέον ἄνθος
Καὶ πλέες· χρυσῷ δ' εἰσέτι λειπόμεθα.
Ἀλλὰ πόθων βασίλεια παρίστασο, ναὶ μὰ σὲ, Κύπρι,
Καὶ τὸ σοι κεασόμενον μικρὸν Ἐρωτάειον.
Φασὶ δέ σ' ἄνθρωποι πολυώνυμον· αὐτὰρ ἐγώ σου
Ἤ δέομαι χρυσῆς, ἢ ταχὺ πανομένης.

ΈΝ ΤΩ͂Ι ΠΑΡΑΠΛΕ'ΕΙΝ ΤΗ'Ν ΤΗ͂Σ 'ΕΡΩΜΕ'ΝΗΣ ΠΑΤΡΙ'ΔΑ.

Χαῖρε πόλι τριπόθητε, μακάρτατον ἄστυ Βαταύων·
Τὴν γὰρ ἐμὴν καλέχεις πότνια Δημοφίλην.
Χαῖρε πόλι· πνοιαί με παραπάζουσι γὰρ ἄλλη·
Καὶ τάχα καλλείψω σοι λόγον ἡμιτελῆ.
Ἀλλὰ σύ μοι τόδε λέξον ἐν οὔασιν ἔν τόδε κείνης
Ῥήματιον, δοκέω ναὶ, φίλον ἐσσόμενον·
Ὡς μέσσοις καταχείμεθ' ἐν ὕδασιν· ἀλλὰ καὶ ἔμπης
Ὡς πάρος, ἔγχαίῳ τῷ πυρὶ καιόμεθα.

ΕΙ'Σ ΤΟ'Ν ΑΥ'ΤΟΥ͂ 'ΕΡΩΤΑ.

Δοιὸς ἔρως, δοιός με πόθος καλεῖ· ὃς μὲν Ἀθήνης,
Ὃς δ' αὖ Κυπρογενοῦς· τῆδε γὰρ εἰσορόω
Δημοφίλης φίλον ὄμμα, τότε στόμα, πορθμὸν ἐρώτων,
Χειλέων τε ῥοδέων πορφυρέην πυλίδα,

Τῶν τε ῥημαλίων γλυκερὸν κλύπον, ᾧ περιβομβεῖ
Εἰσέτι μοι καὶ νῦν οὔατα καὶ κραδίη·
Τῇ δὲ Τειβογύεια φίλην πάλιν ἔμβαλε χεῖρα,
Καὶ σοφίη, Μουσέων τ' ἐννεὰς ἡμετέρων.
Νῦν γὰρ Σωκρατικὴν θαμβῶ χάριν· αἰὲν ἔχω δὲ
Θεῖον Ἀρίστωνος παῖδα περιπλοκάδην·
Νῦν δὲ Ζήνωνι προσέχω πλέον· ἢ δὲ νόον μοι
Δοῦλος Ἐπίκτητος τέρπει ἐλευθερίη.
Θυμὲ τί μοι μελέωρος ἑλίσσεαι ὧδε καὶ ὧδε,
Πολλὰ δὲ διστάζων ῥέμβεαι ἠλιθίως;
Ἡ Παφίη νικάτω· Ἀθηναίη γὰρ ὑπείκειν
Καὶ πρὶν ἐν Ἰδαίοις οὔρεσιν ἐξέμαθε.


ΕἸΣ ΤῊΝ ΔΗΜΟΦΊΛΗΝ.

Ἦν ποτε Δημοφίλης σοῦ ἀστράπτοντας ἐκείνους
Τῶν σῶν οὐρανίων ἀστέρας ἀντιτύπους,
Τοὺς ἀφαλόν τι γελῶντας ἀεὶ καὶ ἀμήχανον οἷον
Ὀφθαλμοὺς, παρεὼν, Ζεῦ πάτερ, εἰσοράῃς,
Φράζεο μὴ κύκνος γίνῃ πάλιν· ἴξον ἔχει γάρ·
Οὐκ ἔτι νοσήσεις, ὥς ποτ', ἀφιπτάμενος.

ΕἸΣ ΣΤΩΪΚῸΝ ΤΙΝᾺ ΧΛΕΥΑΣΤΙΚΌΝ.

Τῶν Στωϊκῶν ἀνδρῶν τις ἐρειστικὸς, ἀφρεσιβόμβαξ,
  Ὀφρυῶν ἀμφοτέρων τοξοποιησάμενος,
Ἐκπελάσας δὲ, τρίβειον εὔσκιον, ἑπταβόειον
  Ὡς σάκος, ἐκ κεφαλῆς ἐς πόδας ἐκτάδιον,
Βρενθύων οἴκονδε πορεύετο νύκτα καὶ ἄκρην,
  Πολλὰ σοφιστεύων καὶ παραδοξολογῶν·
Τῷ παραδοξότατον συνέβη τόδ᾽· ὑπ᾽ ἀνέρι μοιχῷ
  Αὐτοῦ κινυμένην εὕρατο θυγατέρα.

ΤΈΛΟΣ.


BIBLIO
Vittor